# Leukippos

Fragmenta DK 67 B

*ΜΕΓΑΣ ΔΙΑΚΟΣΜΟΣ*

**B 1** = Achilles Tattius, Isagoga excerpta 1, 13
τοὺς ἀστέρας δὲ ζῶια εἶναι οὔτε ᾿Αναξαγόραι (Anaxagoras A 79) οὔτε Δημοκρίτωι ἐν τῶι Μεγάλωι διακόσμωι δοκεῖ.

**B 1a** = Pap. Hercul. 1788 (Coll. alt. vol. VIII) fr. 1 (Crönert Kolotes u. Mened. 1 S. 147)
γ>ράφων <ὅτι ......... τὰ> αὐτὰ πρότε<ρον εἴρηται ἐν> τῶι Με<γ>άλω<ι διακόσμω>ι, ὅν φασιν εἶνα<ι Λευκίππου.> κἀπ<ὶ> το<σ>οῦτο τὸ τῶν ἄλλ>ων <ἰ>διοποιούμενος ἐλέγχετ᾿ ο>ὐ μόνον ἐν τῶ<ι Μικρῶι δι>ακόσμωι τιθεί<ς ἃ κἀν τῶι> Με<γάλωι κεῖται...

*ΠΕΡΙ ΝΟΥ*

**B 2** = Aetios I, 25, 4 (D. 321)
Λεύκιππος πάντα κατ᾿ ἀνάγκην, τὴν δ᾿ αὐτὴν ὑπάρχειν εἱμαρμένην. λέγει γὰρ ἐν τῶι Περὶ νοῦ·

οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ᾿ ἀνάγκης.